καλῶς φυλάξας, οὔτε πρὸς μέσας βολὰς
ἀκτῖνας, οὔτ᾽ αὖ πρὸς τελευτώσας βίον,
πλέθρου σταθμήσας μῆκος εἰς εὐγωνίαν,
μέτρημ᾽ ἔχουσαν τοὐν μέσῳ γε μυρίων
ποδῶν ἀριθμόν, ὡς λέγουσιν οἱ σοφοί,
ὡς πάντα Δελφῶν λαὸν εἰς θοίνην καλῶν.
λαβὼν δ᾽ ὑφάσμαθ᾽ ἱερὰ θησαυρῶν πάρα
κατεσκίαζε, θαύματ᾽ ἀνθρώποις ὁρᾶν.
πρῶτον μὲν ὀρόφῳ πτέρυγα περιβάλλει πέπλων,
ἀνάθημα Δίου παιδός, οὓς Ἡρακλέης
Ἀμαζόνων σκυλεύματ᾽ ἤνεγκεν θεῷ.
ἐνῆν δ᾽ ὑφανταὶ γράμμασιν τοιαίδ᾽ ὑφαί·
Οὐρανὸς ἀθροίζων ἄστρ᾽ ἐν αἰθέρος κύκλῳ·
ἵππους μὲν ἤλαυν᾽ εἰς τελευταίαν φλόγα
Ἥλιος, ἐφέλκων λαμπρὸν Ἑσπέρου φάος,
μελάμπεπλος δὲ Νὺξ ἀσείρωτον ζυγοῖς
ὄχημ᾽ ἔπαλλεν, ἄστρα δ᾽ ὡμάρτει θεᾷ·
Πλειὰς μὲν ᾔει μεσοπόρου δι᾽ αἰθέρος
ὅ τε ξιφήρης Ὠρίων, ὕπερθε δὲ
Ἄρκτος στρέφουσ᾽ οὐραῖα χρυσήρει πόλῳ·
κύκλος δὲ πανσέληνος ἠκόντιζ᾽ ἄνω
μηνὸς διχήρης, Ὑάδες τε, ναυτίλοις
σαφέστατον σημεῖον, ἥ τε φωσφόρος
Ἕως διώκουσ᾽ ἄστρα. τοίχοισιν δ᾽ ἔπι
ἤμπισχεν ἄλλα βαρβάρων ὑφάσματα,
εὐηρέτμους ναῦς ἀντίας Ἑλληνίσιν,
καὶ μιξόθηρας φῶτας ἱππείας τ᾽ ἄγρας
ἐλάφων λεόντων τ᾽ ἀγρίων θηράματα.
κατ᾽ εἰσόδους δὲ Κέκροπα θυγατέρων πέλας
σπείραις συνειλίσσοντ᾽, Ἀθηναίων τινὸς
ἀνάθημα, χρυσέους τ᾽ ἐν μέσῳ συσσιτίῳ
κρατῆρας ἔστησ᾽· ἐν δ᾽ ἄκροισι βὰς ποσὶ
κῆρυξ ἀνεῖπε τὸν θέλοντ᾽ ἐγχωρίων

---

1137. εὐγωνίαν] Elmsleyus, εὐγώνιον libri. 1154. χρυσήρει] Stephanus, χρυσήρη libri. πόλῳ] Brodaeus, πώλῳ libri. 1167. ἐγχωρίων] Lobeckius, ἐγχώριον libri.